*Типы ложных удовольствий в* Филебе *(по D. Frede):*
1) 36c-41b: ложность удовольствий и огорчений как пропозициональных установок (Румпельштильцхен, умная Эльза);
2) 41b-42c: ложность как некорректная оценка интенсивности (Исав);
3) 42c-44d: состояние покоя, ложно принятое за удовольствие («аскеты»);
4) 44d-50e: удовольствия, смешанные с огорчением (Калликл)

T1 = Phil. 44b6-d1
{ΣΩ.}Ὄντως γὰρ τοὺς πολεμίους Φιλήβου τοῦδε, ὦ Πρώταρχε, οὐ μανθάνεις; [...] Καὶ μάλα **δεινοὺς λεγομένους τὰ περὶ φύσιν**, **οἳ τὸ παράπαν ἡδονὰς οὔ φασιν εἶναι**. [...] **Λυπῶν** ταύτας εἶναι πάσας **ἀποφυγάς** [...] {ΠΡΩ.} Τούτοις οὖν ἡμᾶς πότερα πείθεσθαι συμβουλεύεις, ἢ πῶς, ὦ Σώκρατες; {ΣΩ.} Οὔκ, ἀλλ' ὥσπερ μάντεσι προσχρῆσθαί τισι, μαντευομένοις οὐ τέχνῃ ἀλλά τινι δυσχερείᾳ φύσεως οὐκ ἀγεννοῦς λίαν μεμισηκότων τὴν τῆς ἡδονῆς δύναμιν καὶ νενομικότων **οὐδὲν ὑγιές**, ὥστε καὶ αὐτὸ τοῦτο αὐτῆς τὸ ἐπαγωγὸν **γοήτευμα**, οὐχ ἡδονήν, εἶναι.

T2 = Phil. 42b-6 (= тип 2)
{ΣΩ.} Νῦν δέ γε αὐταὶ διὰ τὸ πόρρωθέν τε καὶ ἐγγύθεν ἑκάστοτε μεταβαλλόμεναι θεωρεῖσθαι, καὶ ἅμα **τιθέμεναι παρ' ἀλλήλας**, αἱ μὲν ἡδοναὶ παρὰ τὸ λυπηρὸν **μείζους φαίνονται καὶ σφοδρότεραι**, λῦπαι δ' αὖ διὰ τὸ παρ' ἡδονὰς τοὐναντίον ἐκείναις.

T3 = Phil. 42c5-7
Τούτων τοίνυν ἑξῆς ὀψόμεθα ἐὰν τῇδε ἀπαντῶμεν ἡδονὰς καὶ λύπας ψευδεῖς ἔτι μᾶλλον ἢ ταύτας φαινομένας τε καὶ οὔσας ἐν τοῖς ζῴοις.

Nach diesen Fällen wollen wir als nächstes sehen, of wir nicht auf folgende Weise auf noch falschere Arten von Lust und Unlust stoßen als diese, die scheinbar und auch wirklich bei den Lebewesen auftreten (Frede 1997*).

Next I want to see whether there are not some examples of pleasure and distress that creatures experience that seem and indeed are even more false than these (Gosling 1975, cf. Hackforth 1945: 'that appear false and are false').

* *С пояснением*: 'Zum bloßen Schein wird die Lust, wenn man sie irrtümlich mit der Schmerzfreiheit identifiziert (= **тип 3**). Als wirklich 'noch falscher' erweisen sich dagegen die Extremfälle, vor denen der Asket bei der Schmerzfreiheit Zuflucht gesucht hat' (= **тип 4**).

T4 = Phil. 42c10-43a3
{ΣΩ.} Εἴρηταί που πολλάκις ὅτι τῆς φύσεως ἑκάστων διαφθειρομένης μὲν συγκρίσεσι καὶ διακρίσεσι καὶ πληρώσεσι καὶ κενώσεσι καί τισιν αὔξαις καὶ φθίσεσι λῦπαί τε καὶ ἀλγηδόνες καὶ ὀδύναι καὶ πάνθ' ὁπόσα τοιαῦτ' ὀνόματα ἔχει συμβαίνει γιγνόμενα. [...] Εἰς δέ γε τὴν αὑτῶν **φύσιν** ὅταν καθιστῆται, ταύτην αὖ *τὴν* κατάστασιν ἡδονὴν ἀπεδεξάμεθα παρ' ἡμῶν αὐτῶν. [*если бы не было этих процессов, то и удовольствий и огорчений не было бы, но это невозможно, согласно учению мудрецов*] {ΠΡΩ.} Δῆλον δὴ τοῦτό γε, ὦ Σώκρατες, ὡς οὔτε ἡδονὴ γίγνοιτ' ἂν ἐν τῷ τοιούτῳ ποτὲ οὔτ' ἄν τις λύπη. {ΣΩ.} Κάλλιστ' εἶπες. ἀλλὰ γὰρ οἶμαι τόδε λέγεις, ὡς **ἀεί** τι τούτων ἀναγκαῖον ἡμῖν συμβαίνειν, ὡς **οἱ σοφοί** φασιν· **ἀεὶ γὰρ ἅπαντα ἄνω τε καὶ κάτω ῥεῖ**.

T5 = Phil. 44a4-5
χαίρειν οἴονται τότε ὅταν μὴ λυπῶνται

T6 = Phil. 44a12-b7
{ΣΩ.} Πότερον οὖν αἱρώμεθα παρ' ἡμῖν ταῦτ' εἶναι, καθάπερ ἄρτι, τρία, ἢ δύο μόνα, λύπην μὲν κακὸν τοῖς ἀνθρώποις, <u>τὴν δ' ἀπαλλαγὴν τῶν λυπῶν</u>, αὐτὸ τοῦτο ἀγαθὸν ὄν, <u>ἡδὺ προσαγορεύεσθαι</u>; {ΠΡΩ.} […]οὐ … μανθάνω. {ΣΩ.}῎Οντως γὰρ **τοὺς πολεμίους Φιλήβου** τοῦδε, ὦ Πρώταρχε, οὐ μανθάνεις;

T7 = Phil. 43c1 (после T4)
{ΣΩ.}῏Ωδ' ἔσται κάλλιον καὶ ἀνεπιληπτότερον τὸ λεγόμενον.

T8 = Phil. 51a3-9
τοῖς γὰρ φάσκουσι λυπῶν εἶναι παῦλαν πάσας τὰς ἡδονὰς οὐ πάνυ πως <u>πείθομαι</u>, ἀλλ' ὅπερ εἶπον, μάρτυσι καταχρῶμαι πρὸς τὸ **(1)** <u>τινὰς ἡδονὰς εἶναι δοκούσας, οὔσας δ' οὐδαμῶς</u>, **(2)** καὶ <u>μεγάλας ἑτέρας τινὰς ἅμα καὶ πολλὰς φαντασθείσας</u>, εἶναι δ' αὐτὰς συμπεφυρμένας ὁμοῦ λύπαις τε καὶ ἀναπαύσεσιν ὀδυνῶν τῶν μεγίστων περί τε σώματος καὶ ψυχῆς ἀπορίας.

T9 = Resp. 583b3-6
οὐδὲ παναληθής ἐστιν ἡ τῶν ἄλλων ἡδονὴ πλὴν τῆς τοῦ φρονίμου οὐδὲ καθαρά, ἀλλ' ἐσκιαγραφημένη τις, ὡς ἐγὼ δοκῶ μοι **τῶν σοφῶν τινος** ἀκηκοέναι.

T10 = Resp. 583c3-584a10
- *покой отличается от удовольствия и от огорчения*: οὐκ ἐναντίον φαμὲν λύπην ἡδονῇ; […] Οὐκοῦν καὶ τὸ μήτε χαίρειν μήτε λυπεῖσθαι εἶναί τι; Εἶναι μέντοι. Μεταξὺ τούτοιν ἀμφοῖν ἐν μέσῳ ὂν **ἡσυχίαν** τινὰ περὶ ταῦτα τῆς ψυχῆς; ἢ οὐχ οὕτως αὐτὸ λέγεις;
- *после долгой болезни кажется приятным здоровое состояние, хотя обычно этого не замечаешь*: ὅταν λυπῶνται, **τὸ μὴ λυπεῖσθαι καὶ τὴν ἡσυχίαν τοῦ τοιούτου ἐγκωμιάζουσιν ὡς ἥδιστον**, οὐ τὸ χαίρειν.
- *после долгой радости покой кажется тягостным*: ὅταν παύσηται ἄρα, εἶπον, χαίρων τις, **ἡ τῆς ἡδονῆς ἡσυχία λυπηρὸν ἔσται**.
- *но удовольствие и огорчение — это движение, т.е. не могут быть покоем*
Καὶ μὴν τό γε ἡδὺ ἐν ψυχῇ γιγνόμενον καὶ τὸ λυπηρὸν **κίνησίς τις** ἀμφοτέρω ἐστόν· ἢ οὔ; […] Τὸ δὲ μήτε λυπηρὸν μήτε ἡδὺ οὐχὶ ἡσυχία μέντοι καὶ ἐν μέσῳ τούτοιν ἐφάνη ἄρτι; — Ἐφάνη γάρ. — Πῶς οὖν ὀρθῶς ἔστι τὸ μὴ ἀλγεῖν ἡδὺ ἡγεῖσθαι ἢ τὸ μὴ χαίρειν ἀνιαρόν; — Οὐκ ἔστιν ἄρα τοῦτο, ἀλλὰ φαίνεται, ἦν δ' ἐγώ, παρὰ τὸ ἀλγεινὸν ἡδὺ καὶ παρὰ τὸ ἡδὺ ἀλγεινὸν τότε ἡ ἡσυχία, καὶ **οὐδὲν ὑγιὲς** τούτων τῶν φαντασμάτων πρὸς ἡδονῆς ἀλήθειαν, **ἀλλὰ γοητεία τις**.

T11 = Resp. 584b1-c2 (*возможность чистых удовольствий*)
Ἰδὲ τοίνυν, ἔφην ἐγώ, <u>ἡδονάς, αἳ οὐκ ἐκ λυπῶν εἰσίν</u>, ἵνα μὴ πολλάκις οἰηθῇς ἐν τῷ παρόντι οὕτω τοῦτο πεφυκέναι, ἡδονὴν μὲν **παῦλαν λύπης** εἶναι, λύπην δὲ ἡδονῆς. […] Μὴ ἄρα <u>πειθώμεθα</u> **καθαρὰν** ἡδονὴν εἶναι **τὴν λύπης ἀπαλλαγήν**, μηδὲ λύπην τὴν ἡδονῆς.

T12 = Resp. 584c4-7; 586b7-c2 (*смешанные удовольствия*)
Ἀλλὰ μέντοι, εἶπον, αἵ γε διὰ τοῦ σώματος ἐπὶ τὴν ψυχὴν τείνουσαι καὶ λεγόμεναι ἡδοναί, σχεδὸν αἱ πλεῖσταί τε καὶ **μέγισται**, τούτου τοῦ εἴδους εἰσί, λυπῶν τινες ἀπαλλαγαί. […] Ἆρ' οὖν οὐκ ἀνάγκη καὶ ἡδοναῖς συνεῖναι μεμειγμέναις λύπαις, εἰδώλοις τῆς ἀληθοῦς ἡδονῆς καὶ **ἐσκιαγραφημέναις**, ὑπὸ τῆς παρ' ἀλλήλας θέσεως ἀποχραινομέναις, ὥστε <u>σφοδροὺς ἑκατέρας φαίνεσθαι</u>